γὰρ αὐτῷ τὸ πολὺ κλέος. Οὕτως ἡμεῖς φιλοπαθοῦντες τῷ καλῷ πατρί, υἱϊκῶς διαλεγόμεθα, τοὺς ἐν τῇ θεοφιλίᾳ σου ἱεροὺς σπινθῆρας ἀνασκαλεύειν πειρώμενοι, ὡς ἂν πλέον ὁ τῆς διδασκαλίας αὐτῆς πυρσὸς ἀναλάμψειεν· ἐπειδή, ὡς οἶσθα, νὺξ χαλεπὴ καὶ σκότος βαθύ, πολὺ τῆς κατ' Αἴγυπτον ἐννάτης πληγῆς ὀλεθριώτερον· συμφέρουσα καὶ συγχέουσα καὶ ζοφοῦσα οὐ σώματα ἀλλὰ ψυχὰς αὐτὰς τὸ ἐλεεινότατον· βρέμει ὁ κρατῶν, ἀπειλαί, φυλακαί, πληγαί, κακώσεις, δοκιμασίαι, ἐξελεγχήσεις, κολάσεις, ἐξορίαι, πᾶν ὁτιοῦν εἶδος φόβου καὶ ἀπάτης· διαλάμπουσι ἢ καὶ κεκραταίωνται τινὲς ἄλλοι ἢ οἱ καθ' ἡμᾶς ναζηραῖοι, τὰ νεῦρα τῆς Ἐκκλησίας, τὰ ἀκροθίνια τῆς ὁσιότητος, ὧν οὐκ ἄξιος ὁ κόσμος, σὺν πολλοῖς τοῖς ἀριθμουμένοις καὶ ὁ εὐλαβέστατος ἡγούμενος τῶν Κεραμέων· οὕτω γὰρ κλητέον τὴν ἧτταν ἀναμαχησάμενον· καὶ εὐλογητὸς Κύριος ὁ πολλοὺς ἔχων μάρτυρας ἐν τῷ νῦν διωγμῷ εἰς στηριγμὸν τῆς πίστεως τῆς ἀμωμήτου· μὴ οὖν παρασιωπησάτω σου ἡ ἁγία ψυχὴ δεομένη ὑπὲρ τοῦ λωφῆσαι τὰ κακά, ἐπιλάμψει θείας προμηθείας· ἀλλά γε καὶ περὶ ἐμοῦ τοῦ ταπεινοῦ, ἵνα κατ' ἴχνος ὑμῶν τῶν ἁγίων πατέρων πορεύσωμαι».

β') *Εὐθυμίῳ Σάρδης.*

«Σὺ μέν, ὦ μακάριε, τῇ συνήθει ταπεινοφροσύνῃ χρώμενος οὐ διαλιμπάνεις ἀποσεμνύνειν ἡμᾶς τοὺς ἀγεράστους· ἡμεῖς δέ σε ἴσμεν, ὡς ἀληθῶς, καὶ κρηπῖδα τοῦ λόγου, καὶ ἔρεισμα τῆς Ἐκκλησίας· καὶ μάλιστά γε ἄρτι, ὁπηνίκα ἀπολελοίπασιν ἡμᾶς ὁ δεῖνα ὁ καὶ δεῖνα, οἱ διαφανεῖς πατέρες, τὸ κλέος τῶν ὀρθοδόξων, καὶ ὡς εἷς σχεδὸν πυρσὸς ὑπερλάμπων τῶν ὑφειμένων διαθέεις τῶν ἐν ἄστει· πολλοὺς μὲν φωτίζων μυωπάζοντας ἐκ φωτολειψίας, πλείους δὲ προσάγων τῷ Θεῷ διὰ τῆς ἐπικλυζούσης, οἷον ῥεύματί τινι, μελισταγοῦς διδαχῆς σου· ἀλλὰ φυλαχθείης ἡμῖν ἔτι, ὦ τριπόθητε· οὐ μὴν ἀλλὰ καὶ πάσῃ τῇ Ἐκκλησίᾳ, εἰς στηριγμόν τε καὶ θεῖον ἀγαλλίαμα. Περὶ δὲ οὗ πρεσβυτέρου ἐκέλευσας σημᾶναι οὕτως καὶ οὕτως, εἶναί τε καὶ ἐκλελυτρῶσθαι τῆς βαρβαρικῆς αἰχμαλωσίας, σύνισμεν πρὸς αὐτοῦ τούτου ἕκαστα ἐκμεμαθηκότες· ἀλλ' ὁ ἀνὴρ οὐ βούλεται, εἴτ' οὖν οὐκ ἀνέχεται, τῷ καθ' ἡμᾶς τύπῳ κεκανονίσθαι· οἶσθα γάρ, θεοτίμητε, ὅτι κοινῇ ψήφῳ τῶν τε ἔτι ὑπὲρ γῆν ὄντων, καὶ τῶν ἔναγχος ἐκδημησάντων πρὸς Κύριον ὁμολογητῶν, τοὺς ἅπαξ ἑαλωκότας τῇ αἱρετικῇ κοινωνίᾳ ἱερωμένους εἶρχθαι τῆς ἱερουργίας διώρισται, ἕως δηλονότι καιροῦ ἐπισκοπῆς τῆς ἄνωθεν προνοίας· καὶ πῶς ἂν δυνηθείημεν λῦσαι τὸν κανόνα, καὶ διὰ τῆς τοῦ ἑνὸς παραδοχῆς νόμον ἐπὶ ἅπαντας τοὺς προειρημένους ἀποῖσαι, κἂν τούτῳ ὑπεναντία μὲν δρᾶσαι τῷ θείῳ ἡμῶν καὶ πρωτάρχῳ καθηγεμόνι· ὅτι μηδὲ ἁπλῶς αὐτὸς τοὺς τοιούτους εὐλογεῖν κοινὴν βρῶσιν ἀνέχεται· μὴ

ὅτι γε πλέον τι ἐνεργεῖν ἱερατικῶς· τοὺς ἄλλους τε τῶν ὁμολογητῶν σκανδαλῖσαι, καὶ ὑποῖσαι διχόνοιαν τοὺς ἀκριβείας ἀντεχομένους; Κἄν τινες ἴσως ἔφθασαν τῇ κατ᾿ αὐτοὺς διακρίσει διὰ τὸ στενὸν τοῦ χρόνου, καὶ τὸ τῶν ἐπιζητούντων ἀναγκαστικόν, τινὰς τῶν πρεσβυτέρων μετὰ τὴν ἐπιτιμίαν ἀπολελυκέναι· ἡμῖν δὲ οὐδαμῶς τοῦτο κατεργάσασθαι ἄτερ τοῦ προέδρου· ὅτι καὶ νομιστέον εὖ ἔχειν τὸν λόγον τῆς καθείρξεως· ποῦ γὰρ φανείη τὸ διάφορον τῶν προδωσάντων τὴν ἀλήθειαν, καὶ μή ; τῶν γενναίως ἐνηθληκότων, καὶ μηδαμῶς ἑλομένων ὑπὲρ τοῦ καλοῦ τληπαθεῖν ; καὶ ποῦ ὁ Χριστὸς καὶ ὁ Βελίαλ, τὸ φῶς καὶ τὸ σκότος, εἴπερ ἀναμὶξ τὰ πάντα, καὶ πρὸ κρίσεως συνοδικῆς, κρίσις· καὶ πρὸ εἰρήνης, εἰρήνη ; Ἀπώμοτον τοῦτο, ὦ πατέρων κράτιστε, ὡς ἡμῖν γε δοκεῖ· εἴποιμεν δ᾿ ἂν καὶ τῇ ἀληθείᾳ. Ἀρκετόν γε τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων, ὥς φησιν ὁ Ἀπόστολος, ὡς ἂν μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. Οὐ μὴν προακτέον εἰς τὸν ἀφ᾿ οὗ εἴρχθη διὰ τὴν παράβασιν βαθμόν, ἕως τοῦ δέοντος καιροῦ· ἵνα καὶ τὸ τοῦ πλημμεληθέντος εἶδος ἔτι κολάζοιτο παραπληκτικώτερον, καὶ ὁ τῆς ὑγιώσεως τρόπος ὑποφαίνοιτο διὰ τῆς προλήψεως τὸ ἱκανὸν ἔχων. Εἰ καὶ ὅτι ἐξαίρετά τινα κατ᾿ ἀπορίαν, μὴ παρόντος σεσωσμένου, συγκεχώρηται δρᾶν ἱερατικῶς, ἅ καὶ συνεπίσταται ἡ τελειότης σου, ὁ ἤδη εἰργμένος ταύτῃ. Ἀλλ᾿ οἷον ὅδε ὁ πρεσβύτερος καὶ πρὸ τῶν βαρβάρων πεπραγμένα αὐτῷ συννοῶν, καὶ ὡς πολλοὺς τῇδε ἐφώτισε, καὶ δεῖν, φασί, διὰ πάντα ταῦτα λελυμένον εἶναι, οὐκ ἠνέσχετο ὑπελθεῖν ὁμοιοπαθῶς τοῖς ἐνταῦθα εἰρχθεῖσι· διὸ παρακεχωρήκαμεν αὐτῷ τὰ κατ᾿ αὐτόν, ὡς ἂν διακρίνοιτο πρᾶξαι· οὔτε λύσαντες, οὔτε εἴρξαντες. Ἔρρωσο ἐν Κυρίῳ, ὑπερεύφημε, ἡμεῖς τε καὶ οἱ μεθ᾿ ἡμῶν ἀδελφοὶ πλεῖστα προσαγορεύομεν».

γ΄) Εὐθυμίῳ Σάρδης.

«Δὶς ἄρτι ἐπιστέλλω τῇ μακαριότητί σου, ἀλλὰ φεῦ τῆς ἐμῆς ἁμαρτίας, ἐν δάκρυσι γὰρ ὁ λόγος, ὅτι δυὰς τῶν πρὶν ἐπιστοληφόρων ἀφικομένη πρὸς τὴν ἐξορίαν σου ὑποβρύχιος γέγονεν· ὁμοῦ συνέτριψεν οὐ μετρίως τὴν ταπεινὴν ψυχήν· ὅμως ἐπειδὴ υἱοὶ ὑπακοῆς, καὶ τοιαύτης διακονίας ἀπόστολοι καὶ τρίτον ὅτι εἷς μόνος θάνατος οἴκτιστος, ὁ τῆς ἁμαρτίας, κἂν ἐπὶ κλίνης φθάσοι, ἤνεγκα εὐχαρίστως ἀφέμενος τὸ λυπηρόν· τοίνυν καὶ ἐν τοῖς πρώτοις γράμμασι τὸν ὀφείλοντα μακαρισμὸν ἀνῆψα τῇ θεοφιλίᾳ σου· καὶ γάρ ἐστιν ἀξία μακαρίζεσθαι, πρόκριτα πάντων ἀγωνισαμένη καὶ πεπαρρησιασμένη ἐν ἱεράρχαις· καὶ ταῦτα μηδὲ τὸν καιρὸν τοῦ θαρρεῖν ἔχουσα διὰ τὴν σχολὴν τοῦ θρόνου· ὅμως ἐν τῷ τῆς ἀληθείας κράτει τὸν θρόνον ἔχων, τοὺς ὑποθρόνους σχεδὸν πάντας ὑπερῆρας ὁμολογίας στέφανον ἀπενεγκάμενος. Τὰ αὐτὰ καὶ νῦν

σου τῇ ἱερᾷ κορυφῇ προσφθέγγομαι στέφων οὐ χρυσοκολλήτῳ διαδήματι, ἐπεὶ μηδὲ κατὰ σάρκα τὸ νῖκος, ἀλλὰ θεοπλόκοις λόγοις, οὐράνιον γὰρ τὸ ἐκνίκημα· χαῖρε τοίνυν καὶ θυμηδία, θαυμάσιε, φέρων ἔτι καὶ διανύων τὸν δίαυλον τῆς ὑπερορίας, ἵνα ἐπὶ σκάμματος τῆς ἐκδημίας, ἐπαναδράμοις ἐστεμμένος εἰς οὐρανούς· καὶ πρό γε ταύτης, εἴη μέ σε θεάσασθαι ἐν καιρῷ εἰρήνης λελαμπρυμμένον ἐπὶ τῆς προεδρίας.

Τὰ γὰρ νῦν ὅπως τετάρακται καὶ ἐμπεπύρισται ἡ καθ᾿ ἡμᾶς ἐκκλησία πολλοῦ τὸ λέγειν διὰ τὸ πολυειδὲς τῆς ἀσεβείας· θυσιαστήρια θεῖα ἀφανίζονται· αἰρομένων τῶν σεπτῶν εἰκόνων ναοὶ ἱεροὶ τὴν εὐπρέπειαν ἀπώλωλαν· πᾶσα ψυχὴ σχεδὸν ὤκλασε χειρόγραφα τοῖς ἀσεβέσι δώσασα· ὀλίγοι οἱ ἀντεχόμενοι, καὶ οὗτοι ὡς ἐν πυρὶ δοκιμαζόμενοι ταῖς κακώσεσιν· ὠλίσθησεν ὁ Σμυρναῖος ἐν ἐπισκόποις καὶ ὁ Χερσόνος· ἐν ἡγουμένοις ὁ Χρυσοπολίτης, ὁ τῆς Δίου, ὁ τῆς Χώρας καὶ μικροῦ δεῖν πάντες οἱ ἐν ἄστυ· ἐνίστανται οἱ τῆς Βιθυνίας, χάριτι Χριστοῦ· προσεύχου, πάτερ, κραταιοῦσθαι αὐτοὺς σὺν ἡμῖν τοῖς ταπεινοῖς ἕως τέλους· οὐδεὶς ἐκ τοῦ λαϊκοῦ τάγματος στήκων, πλὴν τοῦ Πηξιμηνίτου, ὃς καὶ δαρεὶς ἐξώρισται· ἐν κληρικοῖς, ὁ θαυμαστὸς Γρηγόριος, οὗ ἐπίκλην Κεντροκούκουρος· καί γε ἐν ἡγουμέναις μέχρι τῶν ἕξ, ἐν μοναστηρίοις φρουρούμεναι. Ἔλθοιμι ἐπὶ τὸ ἀναγκαῖον τῆς ἐντολῆς σου· τί, ὦ πάτερ, ἐπιτέταχας τὰ ὑπὲρ ἐμὲ καὶ κατὰ βαθμὸν καὶ κατὰ τὴν ἐνεστῶσαν ἀνάγκην κρύβδην πῶς καὶ τὸ εἰς τοὺς γνησίους φίλους προσαγορεύειν με· δέον ἐπὶ πάντας, καί γε μάλιστα ἐπ᾿ ἐμοὶ τῷ ἁμαρτωλῷ, μήπου τὸ διάδηλον γένοιτο τῷ κρατοῦντι· καὶ γὰρ μετεξωρίσθην ἐν ἀνατολικοῖς καὶ θυμὸς περὶ ἐμὲ τὸν δείλαιον οὐκ ὀλίγος τῷ Καίσαρι, ἐκ δηλωμάτων μᾶλλον ἀναφθείς· τοῦ μέν, σιγᾶν μοι καὶ μὴ διδάσκειν προστάττοντος, κἀμοῦ τοῦ δυστήνου ἀναινομένου καὶ προσαντέστερα ἀντιφωνοῦντος· διὰ ταῦτα πληγαί, κἂν ἔλαθον ταύτας αἰδοῖ καὶ εὐσεβείᾳ τοῦ πλήκτορος· ἁρπαγαὶ τῶν ὑπηρετούντων μοι βιβλιδίων αὐτῶν ὧν εἶχον· πῶς οὖν ἐν τούτοις τὶ τῶν ἐνταλθέντων ἐγχειρίσαι, ἀπορῶ· σύγγνωθι τῇ ταπεινώσει μου εἰ καὶ μακάριον τὸ πρᾶγμα· καὶ οὔπω λέγω ὅτι ἐφ᾿ ἴσον τῶν αὐτόθι κἀνταῦθα ἡ τοῦ λιμοῦ συντριβή· πλὴν ἐφ᾿ ἑνὶ προσώπῳ θαρρήσας, ἐπέστειλα· εἰ ἀνοίσειέν τι τὸ γράμμα, δηλώσει ἡ ἀποστολή· τὸ λοιπὸν προσεύχου ὑπὲρ τοῦ τέκνου σου, κατόπιν βαδίζειν τῆς ἁγιωσύνης σου».

Β´) *Ἀκολουθία τοῦ ἱεροῦ Εὐθυμίου.* [226]

α´) Ψάλλεται τῇ κστ´ Δεκεμβρίου ὁμοῦ μετὰ τῆς ἀκολουθίας τῆς

---

[226]) Ἡ ἀκολουθία αὕτη ἀριθμεῖ τρεῖς ἐκδόσεις. Ἡ α´ ἐπιγράφεται οὕτως : «Ἀκολουθία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐθυμίου ἐπισκόπου Σάρδεων τοῦ Ὁμολογητοῦ, θεωρηθεῖσα, ἐπιδιορθωθεῖσά τε καὶ ἐπιμελῶς ἐπεξεργασθεῖσα ὑπὸ Ἰακώβου ἱερο-

ἑορτῆς τῆς τοῦ Χριστοῦ Γεννήσεως, ἐν δὲ τῷ σχετικῷ μηνολογίῳ ἀναγινώσκονται τάδε :

«Θεῷ παραστὰς Εὐθύμιε τρισμάκαρ,
πλήρης ἀλήκτου τυγχάνεις εὐθυμίας».

Σημ. — Ἐν τῇ **ἀκολουθίᾳ** [β´ ἔκδ.] τυποῦται καὶ ἡ εἰκὼν τοῦ ἱεροῦ πατρὸς μετὰ τῶν ἑξῆς :

«Ποιμὴν ἄριστος εὐκλεοῦς Χαλκηδόνος—Σὴν εἰκόνα Ὅσιε εἰς τύπου φάος
Ἱερόθεος δέδωκεν εὐσεβοφρόνως—Χάριν νέμοις ᾧ καὶ λαῷ χριστωνύμῳ

β´) Ἐκ τῆς μετὰ πολλοὺς κόπους καταρτισθείσης πλουσίας συλλογῆς τῶν κλασικῶν ἔργων τῶν μεγάλων τῆς Ἐκκλησίας ποιητῶν, ὁ σεβ. Μητροπολίτης πρ. Λεοντοπόλεως κ. Σωφρόνιος μοὶ ἀπέστειλε προφρόνως πρὸς δημοσίευσιν τὰ κάτωθι, ὅλως διάφορα τῶν ἐν τῇ ἀνωτέρῳ ἀκολουθίᾳ» ὑπαρχόντων. [227]

Στιχηρά. Ἦχος πλ. β´. Αἱ ἀγγελικαί.

α´] Ὅσιε ποιμήν, ποιμενάρχα τοῦ Κυρίου, ὤφθης ζηλωτής, τὴν ψυχὴν ὑπὲρ ποιμνίου προθέμενος, τρισμάκαρ, καὶ γινώσκων τὰ ἴδια, καὶ διαγινώσκῃ ἐξ ἰδίων, καὶ ἐν χαρᾷ τῆς Θεοτόκου, πιστῶς ψάλλωμεν· εὐλογημένος ὁ τεχθείς, καὶ σὲ προσλαβόμενος.

β´] Δόξα ἀθληταῖς, ἱερότητος προσθήκη, κλέος ἀθληταῖς, μαρτυρίου τῶν χαρίτων, Εὐθύμιε τρισμάκαρ, θεοκρίτως ἀνέφηνας, μάρτυς καὶ ποιμὴν καὶ ὑποφήτης, καὶ τῇ χαρᾷ τῆς Θεοτόκου, πιστοὶ ψάλλωμεν· εὐλογημένος ὁ τεχθείς, καὶ σὲ προσλαβόμενος.

γ´] Ἴαμα ἡμῖν, ἡ σορός σου τῶν λειψάνων, χάρισμα πιστοῖς, συνδρομὴ τῆς ἑορτῆς σου, Εὐθύμιε τρισμάκαρ, προσπελάζουσι γένοιτο, καὶ

διακόνου τοῦ ἐκ Μηθύμνης· τανῦν πρῶτον τύποις ἐκδοθεῖσα, προτροπῇ μὲν καὶ ἀδείᾳ τοῦ Παναγιωτάτου, Θειοτάτου καὶ Σοφωτάτου Οἰκουμενικοῦ Πατριάρχου κυρίου κυρίου Ἀγαθαγγέλου, φιλοτίμῳ δὲ δαπάνῃ τοῦ σεβασμιωτάτου ἁγίου Γέροντος Χαλκηδόνος κυρίου Ζαχαρίου. Ἐν τῇ κατὰ τὸν Γαλατᾶν τυπογραφίᾳ τοῦ Κάστορος αωκθ´». — Ἡ β´ ἔκδοσις : «Ἀκολουθία..... κλπ., δεύτερον ἤδη τύποις ἐκδοθεῖσα, φιλοτίμῳ δαπάνῃ τοῦ τε σεβασμ. ἁγίου Γέροντος Χαλκηδόνος κυρίου κυρίου Ἱεροθέου καὶ τῶν ἐν τῇ Πολιτείᾳ Χιλῇ φιλορθοδόξων εὐσεβῶν χριστιανῶν. Ἐν Ἀθήναις. 1852».—Ἡ γ´ ἔκδοσις : «Ἀκολουθία...... κλπ. ἐκδίδεται τὸ τρίτον, φιλοτίμῳ δαπάνῃ τῆς κοινότητος Χιλῆς. Ἐν Κων/πόλει, 1897. Ἐκ τοῦ Πατριαρχικοῦ τυπογραφείου». (ὅρα καὶ : Bibliographie des Acolouthies Grecques par S. G. Mgnr. Louis Petit, Archevêque Latin d'Athênes. Bryxelles. 1926. σελ. 82-83).

227) Ὁ ἐν Χριστῷ ἀγαπητὸς ἀδελφὸς ἀντέγραψε τὰ μὲν πρῶτα πέντε τροπάρια ἐκ τοῦ Κώδ. 1623 φ. 128α καὶ φ. 130α τῆς Ἐθν. Βιβλ. Παρισίων, τὸ δὲ ***Ἐξαποστειλάριον*** ἐκ τοῦ Κώδ. Η94 φ. 220α τῆς Λαύρας (ἐν Ἁγ. Ὄρει).

κατὰ τυράννων παρρησία, καὶ τῇ χαρᾷ τῆς Θεοτόκου, πιστῶς ψάλλωμεν εὐλογημένος ὁ τεχθείς, καὶ σὲ προσλαβόμενος.

Καθίσματα. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

α΄] Σὺν ἀγγέλοις ἄνθρωποι, τὸν ἀθλητὴν εὐφημοῦμεν, ἱεράρχαι ὅσιοι, μετ᾽ ἀθλοφόρων τιμῶντες, ἄσαρκος ἀνέφηνεν ἐν καρτερίᾳ βασάνων, μάρτυς ἀναδέδεικται, μυσταγωγὸς ἀσκητής τε, πολυανθέσι τοῖς στεφάνοις, τὸ κῦδος ἔχων παρὰ Χριστοῦ τοῦ Θεοῦ.

Ἦχος πλ. δ΄ Αὐλῶν ποιμενικῶν.

β΄] Σιὼν ἡ νοητή, ἐλευθέρα ἡ ἄνω, τεχνίτην τὸν Χριστόν, πολιοῦχον αὐχοῦσα, δέχου τοῖς ἀπ᾽ αἰῶνος, σὺν πολιτάρχαις τὸν νῦν Εὐθύμιον, ἄνοιγε ταῖς πρεσβείαις, τοῖς ὑμνοπόλοις χαρίτων πύλας σοι, ὡς μήτηρ οὖσα πάντων τῶν πιστῶν, καὶ κλῆρος ἐπάξιος.

Ἐξαποστειλάριον. Ἐπεσκέψατο ἡμᾶς.

Προσφόρως σήμερον Χριστῷ δορυφόρει, Εὐθύμιε,
ὑπὲρ τοὺς μάγους τὰ δῶρα, δῶρον γενέθλιον τὰ σὰ
καὶ δι᾽ ἐκεῖνον αἵματα, ἔχων νῦν παρρησίαν
τῆς ποίμνης σου πρόστηθι.

Γ΄) ***Βιογραφία τοῦ ἱεροῦ Εὐθυμίου.*** [228)]

Μοναχός τις, Μητροφάνης ὀνόματι, συνέγραψε τὸν βίον τοῦ ἱεροῦ πατρός, δυστυχῶς μὴ περισωθέντα πλήρη. Βιογραφίαν αὐτοῦ ἀναγινώσκομεν καὶ ἐν τῇ «ἀκολουθίᾳ».

VII.

Δύο ἐπιστολαὶ Θεοδώρου τοῦ Στουδίτου πρὸς Ἰωάννην τὸν Σάρδεων [229)]

α΄) Ἰωάννῃ ἐπισκόπῳ Σάρδης.

«Οὔπω μοι μέχρι τοῦ δεῦρο ἤκουσται, ποῦ ποτ᾽ ἂν εἴη περιωρισμένη ἡ πατρική σου ἁγιωσύνη· διὸ ὑπέμεινα συνέχων τὴν χεῖρα καὶ οὐχ εὑρίσκων πληρῶσαί μου τὴν ἐπιθυμίαν· ἐλπίδι οὖν πτερωθεὶς ἐπιτεύξασθαι τοῦ ποθουμένου, ἐπέστειλα τὸ παρὸν καὶ οἶδ᾽ ὅτι οὐ διαψευσθήσομαι τῆς ἐλπίδος ἐν Κυρίῳ· ἀλλά γε δεῦρο φράσον, ὦ μεγαλοπάτορ, πῶς ἡ ἐξορία καὶ ποῦ καὶ ὁ ὑποδεξάμενός σε χῶρος, οἵ τε αὐτόχθονες καὶ οἱ πλη-

---

228) **Κρουμβάχερ**, Ἱστορία τῆς Βυζ. Λογοτεχνίας (μετάφρ. Γ. Σωτηριάδου). Ἀθῆναι 1897), τόμ. Α΄, σελ. 395· πρβλ. καὶ σελ. 389.— Κώδ. Bodl. Laud. 69. σελ. —Β΄ ἔκδ. Ἀκολουθίας ὡς ἐν σημ. 226 σ. 19-32.

229) Ὅρα σημ. 136. — **A. Card. Maio** ὡς ἀνωτέρω σελ. 74 καὶ ἑξῆς.— **Migne** τόμ. 99, σελ. 1367. 1673.

σιάζοντες; ἄρα δεξιοὶ καὶ τῆς ἐκλεκτῆς μερίδος ἑκάτερα, ἢ ἄμφω τὰ ἐναντία καὶ σκολιάζοντα; πλὴν ὅτι διὰ Χριστὸν καὶ τὰ δυσχερῆ εὐχερῆ, καὶ τὰ λυπηρὰ περιχαρῆ· μακάριος εἶ ὑπὲρ ἀληθείας δεδιωγμένος τῆς οἰκείας ἐκκλησίας καὶ ἐξωρισμένος πορρωτέρω τῆς ἐνεγκαμένης· μακάριος εἶ διὰ Κύριον ἐμπαιχθεὶς καὶ κονδυλισθεὶς ὑπὸ τῶν ἀσεβῶν ἔμπροσθεν τοῦ Καϊαφαϊκοῦ συνεδρίου· μετὰ Χριστοῦ ἐθεατρίσθης σὺν τοῖς ὁμάθλοις, σὺν Χριστῷ καὶ ἐδικάσθης καὶ ἐπὶ τὸν σταυρὸν μὲν οὐκ ἀνῆλθες ὅτι μὴ καιρός, σταυροφορῶν δὲ ἐξῆλθες προπηλακισθεὶς καὶ διασυρθεὶς παρὰ τῶν παρανόμων· ἐξ οὗ καὶ ὁ τῆς δικαιοσύνης σοι στέφανος οὐρανόθεν ἀγγελόπλοκος. Ἄγε δὴ πατέρων κορωνὶς εἰς μέσον τοὺς θείους σου ἀγῶνας· σύναψον αὐτοῖς καὶ τοὺς ἑξῆς, ἔτι γὰρ καιρὸς μαρτυρίου εἰς κόσμον τῇ Χριστοῦ Ἐκκλησίᾳ· ἀπαράτρεπτος ἔσο (μετ᾽ αἰδοῦς ὑπομνήσκω, λαβὼν ἔκπαλαι ἐπιτροπὴν τοῦ λέγειν ἐξ ἄκρας σου ταπεινοφροσύνης) τῆς καλῆς ὁμολογίας, ἧς ἔλαβες ὡς ἔπαθλα τὰς ἐντίμους ἀτιμίας, καὶ ἣν ὡμολόγησας ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων· διὰ Χριστὸν ἔτι παθεῖν τὸ ὑπὲρ τῆς ἁγίας αὐτοῦ εἰκόνος ἀθλῆσαι· οὔτε γάρ, φησὶν ὁ Μέγας Βασίλειος, τὸ κράτος ἐπ᾽ ἀμφοῖν σχίζεται οὔτε ἡ δόξα μερίζεται· οἱ δὲ χριστομάχοι οὐ μόνον μερίζουσιν, ἀλλὰ γὰρ καὶ ἀτίμως καθυβρίζοντες διὰ θατέρου θάτερον ἀπαρνοῦνται, ἰουδαΐζοντες πλαγίως, καὶ τὸ τῆς οἰκονομίας μυστήριον ἀνασκευάζοντες· εἰ γὰρ μὴ εἰκονίζεται Χριστὸς καθ᾽ ἡμᾶς, ἔστιν ἀπερίγραπτος ὡς ἔξω σώματος· πᾶν γὰρ τὸ ἐνσώματον περιγραφόμενον· καί που, ὅτι ὁ λόγος σὰρξ ἐγένετο; ἢ πῶς διαγνωσθείη ὁ τῆς σαρκώσεως λόγος, εἰ ὡς πρὶν σωματώσεως, οὕτω καὶ μετὰ σωμάτωσιν ἀπερίγραπτος, ἤτοι ἀνεικόνιστος χαρακτῆρι τῷ καθ᾽ ἡμᾶς μεμένηκεν Χριστός; δεῖ γὰρ διαφορὰν εἶναι δυοῖν πραγμάτων ἑτεροφυῶν, οἷον ὕδατος καὶ πυρός, ὕλης καὶ ἀϋλίας, συνθέσεως καὶ ἁπλότητος, καὶ τῶν ἐξ ἐναντίας ἁπάντων ἀφεστηκότων ἀλλήλοις· οὕτω τοιγαροῦν καὶ ἀσωματότητος καὶ σωματώσεως, ἥτις ἐστὶ διαφορουμένη πρὸς τὸ περιγραπτὸν καὶ ἀπερίγραπτον, καθ᾽ ἣν Χριστὸς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, τοῖν δυοῖν τὰ ἰδιώματα ἐν μιᾷ ὑποστάσει ἀπαράφθαρτα φέρων· καὶ γέγονεν ὁ ἄϋλος, ἔνυλος· ὁ ἁπλοῦς, σύνθετος· ὁ ἄσαρκος, ἔνσαρκος· ὁ ἀνεμφερὴς καὶ ἀνεικόνιστος, ὅμοιος ἡμῖν κατὰ πάντα· εἰ δὲ οὐκ εἰκονίζεται, οὔπω διαφορά, οὔπω σύνοδος τῶν ἐναντίων ἐκ θείας εὐδοκίας τε καὶ δυνάμεως· διὰ τοῦτο οὐδὲ σάρκωσις· ψεύδεται δὲ καὶ ὁ λέγων, «Θεὸς ἐφανερώθη ἐν σαρκὶ» καὶ ὅτι «παραπλησίως ἡμῖν καὶ αὐτὸς μετέσχε σαρκὸς καὶ αἵματος»· οὕτω συνῆκται τοῖς δόγμασιν ἰουδαΐζειν τοὺς εἰκονομάχους καὶ προδρόμους πεφηνέναι τοῦ ἀντιχρίστου· ὧν φύγοιμεν, ὦ πάτερ, τὴν ἀσέβειαν ἴσα ἰουδαϊσμοῦ, μὴ ἀτονοῦντες πρὸς τὰ πάθη, μηδ᾽ αὖ πρὸς τὸ μακροημερὲς τῆς αἱρέσεως, μιμούμενοι τοὺς ἁγίους τοὺς διὰ

μακροθυμίας καὶ πολλῶν παθημάτων κληρονομήσαντας τὰς θείας ἐπαγγελίας· συγγνωμονήσεις δέ μοι πάντως, ὦ ἱερὰ κεφαλή, ἐφ' οἷς διελέχθην τὰ προστεταγμένα ποιοῦντι· ἀλλ' οὖν καὶ ὑπερεύξει ἐν ἀφέσει ἁμαρτιῶν καὶ ἀπτωσίᾳ λόγου καὶ ἔργου παρελθεῖν με τὸν τῇδε βίον».

β') *Ἰωάννῃ Σάρδης.*

«Ἀπὸ χρόνου ἠκούσαμεν νοσηλεύεσθαί σου τὴν πατρικὴν ἁγιωσύνην, ἄρτι δὲ μικροῦ δεῖν καὶ ἀπογνωσθεῖσαν· καὶ τοσοῦτον ἐθροήθημεν οἱ ταπεινοί, καὶ συνεκινήθημεν λυπηρῶς, ὡς ὁρμῆσαι καταλαβεῖν ἡμᾶς ἐν τοῖς αὐτόθι, καὶ ὄψει ὑπολαβεῖν τὴν ἀπευκτὴν ἀκοήν· οὐκ ἐξεγένετο δὲ διὰ τὰ παριστάμενα τούτῳ· διὸ ἠναγκάσθημεν οἱονεὶ πετασθῆναι τοῖς γράμμασιν ὡς ἐν σώματι, καὶ ἰδεῖν σε τὸν καλὸν πατέρα, τὸν γνήσιον φίλον, τὸν γενναῖον μάρτυρα τῆς ἀληθείας· εἴπερ ὑπὲρ αὐτῆς σὺ καὶ ἐξόριστος καὶ φρουροδέσμιος· καί γε πρὸ τούτων θέατρον γενόμενος, ἀποστολικῶς εἰπεῖν, καὶ ἀγγέλοις καὶ ἀνθρώποις, καθ' ἣν ἡμέραν ἔρριπταί σου ὑπὸ τῶν ἀσεβῶν, κατὰ πρόσωπον τοῦ Καϊαφαϊκοῦ συνεδρίου, εἰς τοὔδαφος ἡ ἱερὰ κορυφή. Ὢ τί γίνεται ἐν ἡμῖν; τί ἀπαίρειν τῶν τῇδε σπεύδει ὁ στύλος τῆς Ἐκκλησίας; Μεῖνον μεθ' ἡμῶν, ἔτι μεῖνον· συγκακοπάθησον τῷ Εὐαγγελίῳ ὡς καλὸς στρατιώτης· ὁρᾷς ὅπως ἔνεστιν ὁ πόλεμος; ὅπως βαλλόμεθα καὶ βάλλομεν ὑπὲρ τοῦ λόγου; Ναὶ ἀντιβολοῦμεν, ἐπίμεινον· αἴτησαι ὃν ὡμολόγησας Χριστόν, καὶ ὁμολογεῖς προσκυνεῖν ἀνθρωποπρεπῶς ἐγγραφόμενον· καὶ εἰσακούσει τῆς δεήσεώς σου· εἰ δὲ πάντως ἀπαίρεις, οὕτω τῆς Προνοίας κελευούσης, αὐτὸς μὲν χωρήσεις, εὖ ἴσμεν, ὁμολογίας ἔπαθλον ἀπενεγκάμενος· ἡμῖν δὲ ἵλεω τὸν Θεὸν τὸν ἀγαθὸν καταστήσεις ταῖς πρεσβείαις, οὐ μὴν ἀλλὰ καὶ εἰς τὸ ταχύναι ἐπισκέψασθαι τὴν ἑαυτοῦ Ἐκκλησίαν».

VIII.

Πόνημα Σάρδεων Πέτρου [τοῦ Β'] [230]

Ἐν τῷ ὑπ' ἀριθμ. 441 κώδικι τῆς ἐν Μόσχᾳ Συνοδικῆς Βιβλιοθήκης (16 αἰῶνος, φ. 113 β—114 β) σημειοῦται τὸ ἑξῆς: «*Πέτρου Μητροπολίτου Σάρδεων*: (ἀρχ.) *Καὶ Σωκράτης ὁ Σωφρονίσκου*» (τέλος).

IX.

Ἔργα Σάρδεων Ἰωάννου [τοῦ Β'] [231]

Ἀναφέρεται διασώσας: Μαρτύριον τοῦ μάρτυρος Νικηφόρου, ρητο-

230) Περιγραφὴ τῶν Ἑλλ. χειρογράφων τῆς ἐν Μόσχᾳ Συνοδικῆς Βιβλιοθήκης ὑπὸ ἀρχιμ. Βλαδιμήρου. Μόσχα, 1894, τόμ. Α'. —Ὅρα καὶ σημ. 53.

231) Ὅρα σημ. 140. — *Κρουμβάχερ* κλπ. Α', σελ. 401.—Acta S.S. Februarii 2. σελ. 285-288.—Κώδ. Παρισ. 1458 (11 αἰῶνος) φ. 46-49.

ρικὴν διασκευὴν τῶν προγενεστέρων μαρτυρίων τοῦ αὐτοῦ ἁγίου καὶ ἀνέκδοτον βίον τῶν ἁγίων Βαρβάρας καὶ Ἰουλιανῆς.

X.

Ἐπιστολὴ Οἰκουμενικοῦ Πατριάρχου Νικολάου τοῦ Μυστικοῦ [τὸ β´ 912—925] ***πρὸς Ἀντώνιον τὸν Σάρδεων.*** [232]

Ἀντωνίῳ Μητροπολίτῃ Σάρδεων.

«Ἀλγοῦντες οὐ μικρῶς καὶ σπαρασσόμενοι τὴν ψυχὴν ἐπὶ ταῖς καταλαμβανούσαις ὡς ἡμᾶς φήμαις περὶ τῆς ὑμῶν ἁγιωσύνης (κατελάμβανον γὰρ ἀλλεπάλληλοι μηνύουσαι χαλεπῶς ὑπὸ ἀρρωστίας συνέχεσθαι)· ἀλγοῦντες οὖν ἐπὶ τούτοις λίαν ηὐχαριστήσαμεν τῷ Θεῷ διὰ τοῦ κοινοῦ ἡμῶν τέκνου τοῦ Σάβα καὶ τὴν ἀπαλλαγὴν τῆς νόσου ἀναμαθόντες, καὶ τὸ χάριτι Θεοῦ ἐν ὑγείᾳ σε τελειοτάτῃ διατελεῖν· ἣν καὶ ἔτι παράσχοι ὁ ἀγαθὸς ἀμιγῆ πάσης λυπηρᾶς διαθέσεως προσεῖναι τῇ σῇ ἀρχιερωσύνῃ εἰς ὄφελος μὲν τῶν ὑπὸ σοὶ ποιμαίνεσθαι λαχόντων, εἰς εὐφροσύνην δὲ ἡμετέραν, καὶ εἰς θείαν δόξαν, οἷς διὰ τῶν εὐσεβῶς καὶ θεοφιλῶς πολιτεύεσθαι παιδευομένων διὰ τῆς ὑμῶν ὁσιότητος δοξάζεται ὁ Θεός. Καὶ ταῦτα μὲν οὕτως· ἓν δὲ λοιπὸν ἔτι προσθήσω· μὴ βραδύνῃς, εἰ δυνατόν, πρὸς τὴν ἐπανέλευσιν, ὥστε ὀφθῆναι ἡμᾶς ἀλλήλοις, καὶ ἀπολαῦσαι καὶ συνουσίας καὶ ὁμιλίας πρὸ τοῦ τὴν ἡμῶν ταλαίπωρον ζωὴν ὑπὸ τῶν συνεχουσῶν θλίψεών τε καὶ κακώσεων ἀπαγορεῦσαι».

(Ἕπεται τὸ τέλος)

ΑΠΟΣΤΟΛΙΚΟΝ ΔΙΔΑΓΜΑ

«Ἡμεῖς δ' ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ Θεὸς ἀπ' ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ Πνεύματος καὶ πίστει ἀληθείας, εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἄρα οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς ἡμῶν. Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι, παρακαλέσαι ὑμῶν τὰς καρδίας καὶ στηρίξαι ὑμᾶς ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ».

[Β' πρὸς Θεσσαλον. Β' 13—17]

[232]) Ὅρα σημ. 142.—**Migne,** τόμ. 111, σελ. 369.

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

[Συνέχεια ἐκ τῆς σελίδος 42]

Στίχ. 14. Τὸ ἀπολύτως ἀληθὲς καὶ γνήσιον τῆς τοῦ Πνεύματος διδασκαλίας παραστήσας ὁ Ἰησοῦς, δι' ὧν περὶ Αὐτοῦ (στίχ. 13) εἶπεν, ὡς ἀκούοντος τοῦ Θεοῦ Πατρός, χωρεῖ νῦν ὅπως δείξῃ τὴν στενὴν καὶ ἄρρηκτον συνάφειαν τῆς διδασκαλίας Αὐτοῦ πρὸς τὴν Ἑαυτοῦ. (Πρβλ. ΙΔ', 25, 26). Ἡ περὶ ἧς ὁ λόγος διδασκαλία τοῦ Ἁγ. Πνεύματος κατὰ τὴν ἐνταῦθα διαβεβαίωσιν τοῦ Ἰησοῦ **δοξάσει Αὐτόν**, συντελέσει δηλ. εἰς μείζονα ἀνάδειξιν Αὐτοῦ, ἅτε ἀντλουμένη ἐκ τοῦ αὐτοῦ ἐκείνου θησαυροῦ τῆς ἀληθείας (ΙΔ' 16), ὃν κατέχει Αὐτὸς Οὗτος ἐν τῷ πληρώματι, μετέδωκε δὲ τοῖς Ἀποστόλοις ἐφ' ὅσον μόνον βαστάζειν ἠδύναντο. «Οὐ τῆς ἀγνοίας τῆς ἐμῆς φησι, τὸ μὴ εἰπεῖν ἅπερ εἰπεῖν ἐχρῆν, ἀλλὰ τῆς τῶν ἀκουόντων ἀσθενείας» (Χρυσ.). Ἀλλ' ὁ αὐτὸς ἐν σχέσει πρὸς τὴν σημασίαν τοῦ **δοξάσει** σημειοῦται. «Πῶς; ἐν τῷ ὀνόματι τῷ ἐμῷ δώσει τὰς ἐνεργείας». Ὁμ. ὁ Θεοφ. ἀλλ' εὐρύτερον, περιλαμβάνων καὶ τὴν διδασκαλίαν, «**δοξάσει δὲ καὶ ἐμέ**· ἐν γὰρ τῷ ἐμῷ ὀνόματι πάντα καὶ λαλήσει καὶ ποιήσει καὶ οὐδὲν ἐναντίον ἐρεῖ· ὥστε με διὰ τῶν ὑπ' Ἐκείνου γινομένων θαυμάτων πιστευθῆναι Θεὸν κλπ.». Ὅμοια ἐπιτόμως καὶ ὁ Ζιγ. «Ἐν τῷ ἐμῷ ὀνόματι τὰς ἐνεργείας διδούς, ἀποκαλύπτων ὑμῖν τρανώτερον τὸ μυστήριον τῆς ἐνανθρωπήσεως».

Στίχ. 15. Διασαφηνίζεται ἡ φαινομένη ἀντίφασις μεταξὺ τῶν στίχων 13 καὶ 14, καθ' οὓς τὸ Πνεῦμα παρίσταται ἀκοῦον τοῦ Πατρός (13), καὶ ἀφ' ἑτέρου λαμβάνον ἐκ τοῦ τῷ Χριστῷ ἀνήκοντος (14). Αἰτία ἡ κοινότης τῷ Υἱῷ τῶν ἀνηκόντων τῷ Πατρί. Πρβλ. Ε' 26. Η' 40. Ἐνταῦθα ὁ ἱ. Χρυσ. σημειοῦται. «Ἐπεὶ ἐμά ἐστιν ἐκεῖνα (τὰ τοῦ Πατρὸς δηλ.), ἐκεῖνος δὲ ἐκ τῶν τοῦ Πατρὸς ἐρεῖ, ἐκ τῶν ἐμῶν ἐρεῖ. . . . . Μία ἡ ἐμὴ καὶ ἐκείνου διδασκαλία ἐστιν· ἐξ ὧν ἔμελλον ἐγὼ διδάσκειν, ἐκ τῶν αὐτῶν καὶ αὐτὸς ἐρεῖ. Μὴ δὴ νομίσητε ἕτερα εἶναι τὰ Ἐκείνου· καὶ γὰρ καὶ ἐκεῖνα ἐμά ἐστι καὶ τὴν ἐμὴν συγκροτεῖ δόξαν. Ἓν γὰρ θέλημα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγ. Πνεύματος».

Στίχ. 16. Ἐξ ἀφορμῆς τῆς κατεχούσης ἔτι τοὺς Ἀποστόλους λύπης (στίχ. 6), ἐπανέρχεται ὁ Ἰησοῦς εἰς συναφεῖς πρὸς τὰς τοῦ ΙΔ' 18 κ. ἑ.

ἐννοίας εἰς παραμυθητικόν, ὃν τρόπον ἐκεῖ, ἀποβλέπων σκοπόν. Ἡ τοσοῦτον θλίβουσα τοὺς Ἀποστόλους ἀπομάκρυνσις τοῦ Ἰησοῦ (στίχ. 10) ἔσται βραχείας διαρκείας. Ταύτην διαδέξεται νέα ἐμφάνισις Αὐτοῦ πρὸ αὐτῶν, ἀναγκαῖον ἐπακολούθημα τῆς πρὸς τὸν Πατέρα ἀνόδου Αὐτοῦ. Τί ὑπὸ τὴν νέαν ταύτην ἐμφάνισιν τοῦ Ἰησοῦ πρὸ τῶν Ἀποστόλων δέον νὰ νοηθῇ δὲν εἶνε φανερόν, διὸ καὶ αἱ γνῶμαι τῶν Ἐξηγητῶν διΐστανται καὶ ἐνταῦθα, ὃν τρόπον καὶ ἐν ΙΔ′ 18, ἐν ἀναφορᾷ εἰς τὸ ἀνάλογον **θεωρεῖτε** (=θεωρήσετε). Πολλοὶ τῶν νεωτέρων ἐμβλέπουσιν ἐν τῷ χωρίῳ προαγγελίαν τῶν μετὰ τὴν Ἀνάστασιν ἐμφανίσεων τοῦ Ἰησοῦ τοῖς Ἀποστόλοις καὶ μαθηταῖς. Ἄλλοι τὴν ἐν Ἁγίῳ Πνεύματι, ἀντιπροσωπεύοντι καὶ ἀναπληροῦντι τὸν Ἰησοῦν, ἐπάνοδον Αὐτοῦ ἐπὶ τῆς γῆς καὶ θέαν (μυστικὴν) Αὐτοῦ ὑπὸ τῶν Ἀποστόλων. Καὶ τρίτοι (παρὰ τὸ **μικρὸν**) τὴν δευτέραν ἐπιφανῆ τοῦ Κυρίου παρουσίαν. Ἡ ἐξήγησις τοῦ ἱ. Χρυσ. καὶ τοῦ Θεοφ., μὴ ἱκανῶς σαφής, δύναται νὰ ἑρμηνευθῇ ὑπὸ τὸ πνεῦμα τῆς δευτέρας μᾶλλον γνώμης, καθ᾽ ὃν χρόνον ἡ τοῦ Ζιγ. ὑπὸ τὸ τῆς πρώτης, καθότι ὁ μὲν ἱ. Χρυσ. σημειοῦται· **Μικρὸν καὶ ὄψεσθέ με,** δηλῶν, ὅτι ἐπανήξει, καὶ πρὸς ὀλίγον ἔσται ὁ χωρισμός, καὶ διηνεκὴς ἡ μετ᾽ αὐτῶν συνουσία». Ὁμ. Θεοφ. Ὁ δὲ Ζιγ. «**Ὄψεσθέ με.** Ἀναστάντα ἐκ νεκρῶν» καὶ ἐν τῷ στίχῳ 20. «**Ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται.** Πάλιν θεωρούντων με ὡς ἀναστάντα ἐκ νεκρῶν ἤδη». Ἡ πρότασις, **ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν Πατέρα** ἐλλείπει ἀπὸ ἱκανῶν ἀρχαίων χειρογράφων, θεωρουμένη διὰ τοῦτο, καὶ διότι δὲν ἀπαντᾷ καὶ ἐν στ. 19, ὡς ἐπεισελθοῦσα ἐκ τοῦ στίχ. 17.

Στίχ. 17—18. Οἱ Ἀπόστολοι δὲν ἀντιλαμβάνονται τῆς σημασίας τοῦ χρονικοῦ προσδιορισμοῦ **μικρόν,** ὁ δὲ λόγος φαίνεται ὤν, ὅτι ὑπὸ τὸ **ὄψεσθε** νοοῦσιν οὗτοι τὴν δευτέραν ἐπιφανῆ τοῦ Ἰησοῦ ἔλευσιν καὶ ἐμφάνισιν (ΙΔ′ 3), ἣν οὐδαμῶς ὑπελάμβανον, ὡς βραχύτατα χρονικῶς ἀφισταμένην ἀπὸ τῆς ἐπικειμένης ἀπομακρύνσεως Αὐτοῦ. Καὶ εἶχον πάντα λόγον νὰ φρονῶσιν οὕτω οἱ Ἀπόστολοι μετὰ τὰ περὶ τοῦ ἐν διωγμοῖς, ἀλλ᾽ ὑπὸ τὴν ποδηγεσίαν καὶ ἐνίσχυσιν τοῦ Παρακλήτου, μέλλοντος ἔργου αὐτῶν, ὡς ἐξακολουθήσεως τοῦ ἔργου τοῦ Χριστοῦ ἐπὶ τῆς γῆς. Πρβλ. καὶ τὰ παρὰ Ματθ. ΚΔ′ 34. ΚΕ′ 5 καὶ Μάρκ. ΙΓ′ 30 σχετικὰ πρὸς τὴν παρουσίαν ταύτην. Δὲν ὑπῆρχον δ᾽ ἀφ᾽ ἑτέρου τέως διδόμενα, ὅπως οἱ Ἀπόστολοι ὑπολάβωσιν, ὅτι ὁ Ἰησοῦς ὡμίλει περὶ τῶν μετὰ τὴν Ἀνάστασιν ἐμφανίσεων, διότι περὶ τῆς Ἀναστάσεως Αὐτοῦ εἶχε πολλάκις ὁμιλήσει, καὶ ταύτην κατὰ τὸ μᾶλλον καὶ ἧττον σαφῶς προανήγγειλε καὶ προδιετύπωσεν (Β′ 19. 22. Γ′ 17 κ. ἑ. Μτθ. ΙΒ′ 39. ΙΣΤ′ 4. 21. ΙΖ′ 23 κλπ.), ὁσῳδήποτε καὶ ἂν οἱ Ἀπόστολοι ἐξηκολούθουν νὰ ἵστανται πρὸ αὐτῆς, ὡς καὶ πρὸ τοῦ πάθους, ὡς πρὸ αἰνίγματος (Β′ 20. Κ′ 8 κ. ἑ.

Μρκ. Θ' 32. Λουκ. ΙΗ' 34), περὶ δὲ τῶν ἐμφανίσεων οὐδένα τέως ἐποιήσατο λόγον. Ὁ ἱ. Χρυσ. ἐν σχέσει πρὸς τὸ παρὸν χωρίον σημειοῦται. «Πόθεν οὐ συνίεσαν; Ἢ διὰ τὴν λύπην, ὡς ἔγωγε οἶμαι (αὕτη γὰρ ἐξέβαλλε τῆς διανοίας αὐτῶν τὰ λεγόμενα), ἢ διὰ τὴν ἀσάφειαν τῶν λεγομένων. Διὸ καὶ ἔδοξεν αὐτοῖς δύο ἐναντία τιθέναι, οὐκ ὄντα ἐναντία. Εἰ γὰρ ὀψόμεθά σε, φησί, ποῦ ὑπάγεις; εἰ δὲ ὑπάγεις, πῶς ὀψόμεθα; Διὰ τοῦτο λέγουσιν· Οὐκ οἴδαμεν τί λαλεῖ». Ὁμ. ὁ Θεοφ.

Στίχ. 19. Ἡ ἀπορία καὶ ἀμηχανία τῶν Ἀποστόλων ἐπὶ τοῖς τελευταίοις λόγοις τοῦ Ἰησοῦ—ἣν οὐδὲ νὰ διατυπώσωσιν οὗτοι πρὸς τὸν Ἰησοῦν τολμῶσι—διεζωγραφήθη πάντως ἐπὶ τῆς φυσιογνωμίας αὐτῶν, διὸ καὶ ταύτην καὶ ἀνεξαρτήτως τῆς καρδιογνωστικῆς Αὐτοῦ δυνάμεως (Β' 25) ἀντιλαμβάνεται ὁ Ἰησοῦς καὶ τὴν ἐνταῦθα διατυπουμένην ποιεῖται πρὸς αὐτοὺς ἐρώτησιν.

Στίχ. 20. Ἀντὶ νὰ προβῇ εἰς σαφεστέραν διατύπωσιν τῶν τὴν ἀπορίαν τῶν Ἀποστόλων προκαλεσάντων λόγων Αὐτοῦ, διότι καὶ αὕτη δὲν ὠφέλει ἕνεκα τῆς ψυχικῆς καταστάσεως ἐν ᾗ οὗτοι διετέλουν, προκρίνει ὁ Ἰησοῦς, ὅπως παρασκευάσῃ αὐτοὺς πρακτικῷ τῷ τρόπῳ εἰς τὴν ὑποδοχὴν τῶν ὅσον οὔπω μελλόντων νὰ ἐκτυλιχθῶσι γεγονότων. «Ἐπειδὴ εἶδε τοὺς μαθητὰς μηδόλως συνιέντας τῶν λεγομένων διὰ τὴν ἐκ λύπης κάρωσιν, σαφέστερον αὐτοῖς τὸ περὶ τοῦ θανάτου Αὐτοῦ δόγμα ἐμπήγνυσιν, ἵνα συνεθισθέντες τοῖς ῥήμασι καὶ τοῖς πράγμασιν αὐτὸν γενναίως ἐνέγκωσι». (Θεοφ.) «Οἱ γὰρ ἐν τοῖς ῥήμασι τοῦτο μελετήσαντες ἔμελλον καὶ ἐν τοῖς πράγμασιν αὐτὸ ῥαδίως οἴσειν λοιπόν». (Χρυσ.) Τὴν βαθεῖαν λύπην καὶ ἀποθάρρυνσιν τῶν Ἀποστόλων (πρβλ. Λουκ. ΚΔ' 17 κ. ἑ.), ἥτις κατέχουσα ἤδη τὴν ψυχὴν αὐτῶν (στίχ. 6) θὰ ἐκορυφοῦτο ἐπὶ τῷ συντελουμένῳ γεγονότι τῆς σταυρώσεως Αὐτοῦ, διαζωγραφεῖ ὁ Ἰησοῦς διὰ δύο ῥημάτων, ἀναμιμνησκόντων τοὺς ἐπὶ τοῖς τεθνεῶσι κοπετοὺς τῶν καταλειπομένων ἐν τοῖς ζῶσιν ὀρφανῶν ἰδίᾳ καὶ ἀπροστατεύτων. Ἡ ἀντιπαράθεσις τῆς ἀντιθέτου ὅλως εἰκόνος τῆς ψυχικῆς καταστάσεως τῶν σταυρωτῶν τοῦ Ἰησοῦ καὶ τοῦ ἀπιστοῦντος καθόλου κόσμου προσδίδει τραγικώτερον χαρακτῆρα εἰς τὴν βαθεῖαν λύπην καὶ ὀδύνην τῆς ψυχῆς τῶν Ἀποστόλων. Ἐν ἀντιθέσει πρὸς αὐτοὺς οἱ σταυρωταὶ τοῦ Ἰησοῦ χαίρουσιν ὡς ἐπὶ κατενεχθέντι θριάμβῳ καὶ ἀπαλλαγῇ αὐτῶν ἀπὸ ἀνιαροῦ καὶ ἐπικινδύνου πολεμίου. «Οἱ τὰ τοῦ κόσμου φρονοῦντες Ἰουδαῖοι χαρήσονται, ὡς τὸν ἐχθρὸν αὐτῶν ἐμὲ ἀνελόντες». (Θεοφ.) Ἀλλὰ τύχῃ ἀγαθῇ ἡ λύπη τῶν Ἀποστόλων οὐδαμῶς παρομόνιμος καὶ τελεία ἔσται. Ταύτην κατὰ τὴν ἐπίσημον διαβεβαίωσιν τοῦ Ἰησοῦ διαδέξεται χαρά, ὡς ἀπ' αὐτῆς ἀποτικτομένη, ὡς ἀγλαὸς καρπὸς καὶ ἀντίδοσις τῆς βασταχθείσης δοκιμασίας. Ἡ ἀνάστασις τοῦ Ἰησοῦ, αἱ

ταύτην πιστώσασαι ἐμφανίσεις Αὐτοῦ, τὸ ἐπιχυθὲν Πνεῦμα, ἡ πνευματικὴ καὶ ἠθικὴ ἀναγέννησις τῶν δεξαμένων Αὐτό, ὁ ἀναμφισβήτητος ἤδη θρίαμβος τοῦ σωτηριώδους ἔργου τοῦ Κυρίου, δὲν ἦτο δυνατὸν ἢ νὰ πληρώσωσιν ἀμέτρου χαρᾶς τὰς τέως βαθέως τεθλιμμένας ψυχὰς τῶν Ἀποστόλων.

Στίχ. 21. Πρὸς παράστασιν τῆς ἰσχύος τῶν θλιβερῶν καὶ χαρμοσύνων συναισθημάτων, καὶ τῆς αἰφνιδίας καὶ ἀποτόμου ἐναλλαγῆς αὐτῶν ἐν τῇ ψυχῇ τῶν Ἀποστόλων ἐπὶ τῷ σταυρικῷ ἀφ' ἑνὸς πάθει τοῦ Ἰησοῦ καὶ ἐπὶ τῇ ἀναστάσει Αὐτοῦ ἀφ' ἑτέρου, ποιεῖται χρῆσιν ὁ Ἰησοῦς τῆς καὶ ἐν τῇ Π. Δ. πυκνῆς παραβολῆς τῆς τικτούσης γυναικός (Ἡσ. ΚΑ' 3. ΚΣΤ' 17 κλπ.) Ὁ φόβος καὶ ἡ ἀγωνία ἐπὶ τῷ κινδύνῳ, ὃν αὕτη τε καὶ τὸ νεογνὸν διατρέχουσι κατὰ τὴν ἐπώδυνον τοῦ τοκετοῦ στιγμήν, πληροῖ τὴν ψυχὴν τῆς ἐν τοκετῷ εὑρισκομένης γυναικός. Καθ' ὅμοιον τρόπον κατώδυνος ἐκ τῆς λύπης καὶ τῆς ἀγωνίας θὰ ἦτο καὶ ἡ ψυχὴ τῶν Ἀποστόλων πρὸ τοῦ φρικτοῦ γεγονότος τῆς σταυρώσεως τοῦ Κυρίου. Τἀνάπαλιν ἔξαλλος χαρὰ πλημμυροῖ τὰ στήθη τῆς νεαρᾶς γυναικὸς ἅπαξ τεκούσης καὶ ἔξω μὲν ἤδη παντὸς κινδύνου εὑρισκομένης, ἅμα δὲ καὶ δοκιμαζούσης ἤδη τὸ εὐφρόσυνον συναίσθημα τῆς μητρότητος. Καθ' ὅμοιον τρόπον ἄφατος χαρὰ καὶ ἀγαλλίασις θὰ διεδέχετο καὶ παρὰ τοῖς Ἀποστόλοις τὸ τέως ἀλγεινὸν τῆς ψυχῆς αὐτῶν αἴσθημα. Ἀρχαῖοι καὶ νεώτεροι Ἐξηγηταὶ ἐμβλέπουσι καὶ βαθυτέραν ἔννοιαν ἐν τῇ ἐν λόγῳ παραβολικῇ εἰκόνι. Οὕτω ὁ ἱ. Χρυσ. σημειοῦται· «Αἰνίττεται δὲ ἐνταῦθα καί τι μυστικόν· ὅτι ἔλυσεν Αὐτὸς τοῦ θανάτου τὰς ὠδῖνας καὶ νέον ἄνθρωπον ἀπογεννηθῆναι πεποίηκεν». Καὶ ὁ Θεοφ. «**Ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον.** Τοῦτο οὐ μάτην οὕτως εἶπεν, ἀλλὰ θέλων ἐμφαντικῶς καὶ κεκρυμμένως ὑπαινίξασθαι, ὅτι Αὐτός ἐστιν ὁ γεννηθεὶς ἄνθρωπος, οὐ τῷ ὠδύναντι αὐτὸν Ἅδη, ἀλλὰ τῷ κόσμῳ. Ἡμῖν γὰρ ἐγεννήθη ἐξ ἀναστάσεως ὁ νέος ἄνθρωπος Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν». Ὁμ. ὁ Ζιγ. Κατ' ἀνάλογον τρόπον μυστικῶς ἑρμηνεύουσι καὶ νεώτεροί τινες ἐξηγηταὶ ἐν τῷ ἀνθρώπῳ, περὶ οὗ λέγεται ὅτι ἐκ τοῦ ἐπωδύνου τόκου ἐγεννήθη, ἐμβλέποντες καὶ τὴν ἐκ τοῦ πάθους καὶ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ ἀναγεννηθεῖσαν ἀνθρωπότητα.

Στίχ. 22. Ἐφαρμόζει ὁ Ἰησοῦς ἐπὶ τῶν Ἀποστόλων τὴν προσαχθεῖσαν ὑπ' Αὐτοῦ παραβολικὴν εἰκόνα τῆς ὅσον οὔπω τικτούσης γυναικός, ἀφορῶσαν εἰς ζωηροτέραν ἀπεικόνισιν τῆς ἤδη συνεχούσης αὐτοὺς καὶ τῆς ἀποκειμένης ἅμα λύπης, ὡς καὶ τῆς οὐ μετὰ πολὺ ἀναμενούσης αὐτοὺς χαρᾶς. **Ἔχετε.** Διὰ τοῦ ἐνεστῶτος τῇ παρούσῃ πενθίμῳ ψυχικῇ καταστάσει τῶν Ἀποστόλων (στίχ. 6), λυπηρὰ προαισθανομένων, ἐπισυνάπτεται ἡ ἐπὶ τῇ σταυρώσει ὀδύνη καὶ ἀγωνία. **Ὄψομαι ὑμᾶς.** Κατὰ

τὴν διάφορον ἐκδοχὴν τῶν ἀνωτέρω στίχων (στ. 16 κ. ἑ.) νοοῦνται κατά τινας μὲν αἱ μετὰ τὴν ἀνάστασιν ἐμφανίσεις τοῦ Ἰησοῦ, κατ᾽ ἄλλους ἡ ἐπιφοίτησις τοῦ Ἁγ. Πνεύματος καὶ ἡ δι᾽ Αὐτοῦ μυστικὴ κοινωνία μετὰ τοῦ Χριστοῦ. Οἱ τὴν δευτέραν ἐκδοχὴν ἀσπαζόμενοι θεωροῦσιν, ὡς οὐδεποσῶς κατ᾽ οὐσίαν διάφορον ἐκφραζούσας ἔννοιαν τὰς φράσεις **ὄψομαι ὑμᾶς** καὶ **ὄψεσθέ με** (στίχ. 16). **Καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ᾽ ὑμῶν.** Διὰ τοῦ ἐνεστῶτος **αἴρει** δηλοῦται τὸ εἰς τὸ διηνεκὲς παραμόνιμον τῆς χαρᾶς τῶν Ἀποστόλων, ὑπὸ οὐδεμιᾶς ἀντιξόου περιστάσεως ἀποσπωμένης ἀπὸ τῆς ψυχῆς αὐτῶν. «Ὅτε γὰρ ὑβρίζοντο, τότε ἔχαιρον, ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἠτιμάζοντο» Θεοφ. καὶ αὖθις «Δείκνυσιν, ὅτι οὐκέτι θανεῖται, ἀλλ᾽ ἀεὶ ζῶν, ἀκαταλύτου χαρᾶς αὐτοῖς πρόξενος ἔσται» (Ὁμ. Χρυσ. Ζιγ.). Ἡ ἐν πίστει καὶ Πνεύματι Ἁγίῳ κοινωνία τῶν Ἀποστόλων μετὰ τοῦ ἀναστάντος καὶ ἐν αἰωνίῳ καὶ ἀκαταλύτῳ ζωῇ ἤδη διατελοῦντος Ἰησοῦ, ἑπόμενον, ὅτι θὰ ἐπλήρου τὴν ψυχὴν αὐτῶν ἀφάτου καὶ ἀδιαταράκτου χαρᾶς καὶ ἀγαλλιάσεως, ἅτε οὕτω μετόχων καὶ αὐτῶν γινομένων τῆς ἀειζώου πηγῆς τῆς αἰωνιότητος.

Στίχ. 23. Καταπεμφθέντος τοῦ Παρακλήτου καὶ φωτίσαντος τοὺς Ἀποστόλους (ἢ κατὰ τὴν ἑτέραν ἐκδοχήν, ἐπιφανέντος μετὰ τὴν ἀνάστασιν τοῦ Ἰησοῦ καὶ ἄραντος δι᾽ αὐτοῦ τούτου τοῦ γεγονότος πάσας τὰς ἀμφιβολίας [1]) τῶν Ἀποστόλων, ἀκριβωσάντων ἤδη ἀναμφισβητήτως τὸν θεῖον χαρακτῆρα τοῦ Ἰησοῦ καὶ τὴν σημασίαν τοῦ ἔργου Αὐτοῦ) οὐδεμίαν πλέον ἀνάγκην θὰ εἶχον οὗτοι, ὅπως ἀποτείνωσιν ἐρωτήσεις, ὃν τρόπον καὶ βραχὺ πρὸ τούτου ἐπανειλημμένως ἔπραττον (ΙΓ´ 24 κ. ἑ. 37. ΙΔ´ 5. 8. 22. ΙΣΤ´ 17 κ. ἑ.), ἀγνοοῦντες καὶ ἀποροῦντες καὶ τὴν ἐπίλυσιν τῶν ἀποριῶν αὐτῶν παρὰ τοῦ Διδασκάλου αἰτούμενοι. Κατὰ ταῦτα τῇ χαρᾷ, ἣν θὰ προὐξένει αὐτοῖς (στίχ. 22) ἡ ἐπιφοίτησις τοῦ Ἁγ. Πνεύματος (ἢ ἄλλως αἱ μετὰ τὴν ἀνάστασιν ἐμφανίσεις αὐτοῦ τοῦ Ἰησοῦ), θὰ ἐπηκολούθει καὶ θὰ συνεδέετο καὶ φωτισμὸς καὶ ἀνάπαυσις τῆς ψυχῆς αὐτῶν, ἀπαλλασσομένων τῆς ἀπορίας καὶ ἀμηχανίας. Ὑπὸ τὴν ἡμέραν **(ἐν ἐκείνῃ τῇ ἡμέρᾳ)** νοεῖται κατὰ ταῦτα χρονικὸν διάστημα εὐρύτερον πολλῷ τοῦ διὰ τῆς λέξεως ταύτης συνήθως ὁριζομένου, τὸ κατὰ τὴν ἡμέραν δηλ. τῆς ἐπιφοιτήσεως καὶ κατόπιν (ἢ κατὰ τὴν ἄλλην ἐκδοχὴν τὸ τῶν ἐμφανίσεων καὶ ἑξῆς) ἀτελεύτητον χρονικὸν διάστημα. **Ἐρωτήσατε.** Ἄλλοι ἑρμηνεύουσιν ἐν τῇ σημασίᾳ τοῦ αἰτήσεσθε, δεηθήσεσθε, ἐν οἵᾳ σημασίᾳ ἀπαντᾷ οὐχ ἧττον τὸ ῥῆμα οὐχ ἅπαξ καὶ παρὰ τῷ Εὐαγγ. Ἰωάννῃ. Κατὰ τὴν ἑρμηνείαν ταύτην οἱ Ἀπόστολοι διὰ τῶν

---

1) Ἀπορίας τινὰς τῶν Ἀποστόλων, οἷαι ἐπὶ παραδείγματι αἱ ἐν Πραξ. Α´ 6 δὲν λαμβάνονται ὑπ᾽ ὄψει κατὰ τὴν ἐν λόγῳ ἐκδοχήν.

ἐμφανίσεων τοῦ Ἰησοῦ βεβαιούμενοι ἀναμφισβητήτως, ὅτι Αὐτὸς ἐν τῷ Πατρί (ΙΔ΄ 16), ἀντὶ ν' ἀποτείνωνται πρὸς Αὐτὸν αἰτούμενοι, (ὃν τρόπον κατὰ τὴν ἐπὶ γῆς ἀναστροφὴν Αὐτοῦ μετ' αὐτῶν, ὅτε παρεῖχεν αὐτοῖς αἰτουμένοις, ἢ ᾐτεῖτο ὑπὲρ αὐτῶν παρὰ τοῦ Πατρὸς) θ' ἀποτείνωνται πρὸς τὸν Πατέρα, καὶ κατὰ τὴν περαιτέρω ἐπίσημον διαβεβαίωσιν τοῦ Ἰησοῦ (**ἀμὴν ἀμὴν λέγω ὑμῖν** κλπ.) θὰ τυγχάνωσιν αἰτούμενοι. Ὑπὸ τὸ πνεῦμα τοῦτο ἑρμηνεύει καὶ ὁ ἱ. Χρυσ., καίτοι ἠχεῖ παρ' αὐτῷ καὶ ἡ σημασία τοῦ ἐρωτᾷν ἐν τῇ συνήθει αὐτοῦ σημασίᾳ. «**Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν.** Πάλιν οὐδὲν ἄλλο κατασκευάζει διὰ τούτων, ἢ ὅτι ἀπὸ Θεοῦ ἐστιν. Τότε γὰρ εἴσεσθε πάντα λοιπόν. Τί δέ ἐστιν **ἐμὲ οὐκ ἐρωτήσετε;** Οὐ δεήσεσθε μεσίτου, ἀλλ' ἀρκεῖ τὸ ὄνομα μόνον εἰπόντας λαβεῖν». Παρὰ τῷ Θεοφ. καὶ τῷ Ζιγ. ἀναγινώσκονται ἀμφότεραι αἱ ἐκδοχαί. «Ὅτε, φησίν, ἀναστήσομαι, τότε ἐπιφοιτήσαντος ὑμῖν πάντως τοῦ Παρακλήτου, καὶ ὁδηγήσαντος εἰς πᾶσαν τὴν ἀλήθειαν, **ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν,** τοιοῦτον, οἷον καὶ πρῴην, **ποῦ ὑπάγεις** καὶ **δεῖξον ἡμῖν τὸν Πατέρα,** πάντα γὰρ γνώσεσθε ἐν Πνεύματι, ἤτοι ἐρωτήσητε, ἀντὶ τοῦ παρακαλέσετε, ἀξιώσετε» (Θεοφ.). Τῇ ἐξαγγελίᾳ τοῦ ἐπὶ τῇ ἐπιφοιτήσει τοῦ Ἁγ. Πνεύματος πλήρους φωτισμοῦ τῶν Ἀποστόλων, ὥστε νὰ μὴ χρήζωσιν οὗτοι πλέον, ὅπως ἐπερωτῶσιν Αὐτόν, ἐπισυνάπτει ὁ Ἰησοῦς πανηγυρικὴν διαβεβαίωσιν ἀναφορικῶς εἰς τὰς αἰτήσεις τῶν Ἀποστόλων, αἵτινες γινόμεναι ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ θὰ τυγχάνωσι πᾶσαι ἐκπληρώσεως παρὰ τοῦ Πατρός. Ἐξηγηταί τινες ὑπολαμβάνουσιν, ὅτι πρόκειται περὶ αἰτήσεων, ἀφορωσῶν εἰς διασάφησιν ἀποριῶν, ὡσεὶ ἔλεγεν ὁ Ἰησοῦς, ὅτι παρὰ τοῦ Πνεύματος ἕξετε τὸν πλήρη φωτισμόν, ἂν δέ τι τυχὸν ἀπορῆτε ἔτι, φωτισθήσεσθε περὶ τούτου ἐν ταῖς πρὸς τὸν Πατέρα σχετικαῖς πρὸς τὸ απορούμενον προσευχαῖς ὑμῶν. **Ἐν τῷ ὀνόματί μου** πρβλ. ΙΔ΄ 13. Κατὰ τὴν γραφὴν ἱκανῶν τῶν ἀρχαιοτέρων κωδίκων τὸ **ἐν τῷ ὀνόματί μου** ἐνταῦθα ἀκολουθεῖ τῷ **δώσει ὑμῖν** (οὐχὶ δὲ τῇ λέξει τὸν **Πατέρα).** καὶ δηλοῦται, ὡς εἰκὸς ἡ ἐπὶ τῇ ἀναγνωρίσει ὑπὸ τοῦ Πατρὸς τοῦ ἀξιώματος καὶ τοῦ ἔργου τοῦ Χριστοῦ παροχὴ ὑπὸ τοῦ Πατρὸς τοῖς τῇ πίστει Ἐκείνῳ (τῷ Χριστῷ) κοινωνοῦσι πάντων τῶν ὑπ' αὐτῶν αἰτουμένων.

Στίχ. 24. Τὴν ἐν τῷ ὀνόματι Αὐτοῦ δηλωθεῖσαν αἴτησιν παρὰ τοῦ Πατρὸς (αἴτησιν, ἧς ἐμνημόνευσε καὶ μικρὸν πρότερον (ΙΔ΄ 13. 14) χαρακτηρίζων ὁ Ἰησοῦς ὡς οὔπω τέως ἐν χρήσει παρὰ τοῖς Ἀποστόλοις οὖσαν (ἅτε οὔπω τελείως διὰ τῆς ἀναστάσεως φωτισθεῖσι περὶ τοῦ θείου χαρακτῆρος Αὐτοῦ, οὐδὲ υἱοθετηθεῖσι διὰ τοῦ αἵματος Αὐτοῦ τῷ Θεῷ Πατρὶ) ἐπὶ τῷ ἐπικειμένῳ πάθει καὶ τῇ ἀναστάσει Αὐτοῦ προτρέπεται αὐτούς, ὅπως θέσωσιν αὐτὴν εἰς ἐφαρμογήν, ἵνα οὕτω εἴ τι ἔτι λείπει

ἐκ τῆς (ἐπὶ τῇ ἀναστάσει Αὐτοῦ καὶ τῇ τοῦ Παρακλήτου ἐπιφοιτήσει) χαρᾶς αὐτῶν συμπληρωθῇ. Ἡ ἐν λόγῳ χαρὰ τῶν Ἀποστόλων ἦτο δυνατὸν νὰ ταράσσηται ἐκ δυσχερειῶν περὶ τὸ ἀποστολικὸν ἔργον αὐτῶν. Ἡ ἐκπλήρωσις ἄρα ὑπὸ τοῦ Πατρὸς τῶν σχετικῶν αἰτήσεων αὐτῶν θὰ ἦρεν ἐκ μέσου πᾶσαν ἀφορμὴν ταραχῆς αὐτῶν. «Μὴ γάρ, ἐπειδὴ χωρίζομαι ὑμῶν, νομίζητε ἐγκαταλειφθῆναι παρ' ἐμοῦ, ἀλλὰ τὸ ὄνομά μου μείζονα ὑμῖν παρρησίαν δώσει, καὶ ἡ χαρὰ ὑμῶν τότε ἔσται πληρεστάτη, λαμβανόντων πάντα τὰ αἰτήματα» (Θεοφ.).

Στίχ. 25. Ἐπαναλαμβάνει κατ' οὐσίαν ὁ Ἰησοῦς τὴν ἔννοιαν, τὴν διὰ τῶν λέξεων **ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἐρωτήσετε ἐμὲ οὐδὲν** (στίχ. 23) διατυπωθεῖσαν. Ἡ μέχρι τοῦδε διδασκαλία τοῦ Ἰησοῦ, καὶ δὴ καὶ ἰδιαιτέρως ἡ ἐν τοῖς ἐν τῷ ὑπερῴῳ περατουμένοις ἤδη τελευταίοις (ΙΓ' κ. ἑξ.) πρὸς τοὺς Ἀποστόλους λόγοις, ἔφερεν ἐν πολλοῖς εἰκονικὸν καὶ ἀσαφῆ χαρακτῆρα, ἀφορμὴν ἔχοντα τὴν ψυχικὴν κατάστασιν τῶν Ἀποστόλων, ἀλλὰ καὶ τὴν καθόλου εἰπεῖν ἀτέλειαν τῆς διὰ τῆς ἀνθρωπίνης γλώσσης παραστάσεως τῶν διανοημάτων καὶ αἰσθημάτων. Ἡ διὰ τῆς ἐπιφοιτήσεως τοῦ Παρακλήτου διανοιγομένη τοῖς Ἀποστόλοις (τοῖς πιστοῖς καθόλου) περίοδος φέρει οὐσιωδῶς διάφορον χαρακτῆρα. Ἡ ἐσωτερικὴ φωνὴ τοῦ Πνεύματος, ἡ ἐκ τῶν θησαυρῶν τῆς τοῦ Χριστοῦ σοφίας διδάσκουσα (στίχ. 15), εἰς τὸν ἐνδιάθετον ἀπ' εὐθείας ἀποτεινομένη λόγον, ἀποτελεῖ πεπαρρησιασμένην, ἄνευ εἰκόνων καὶ ἀσαφειῶν διδασκαλίαν, ἥτις βάσιν καὶ κορυφὴν πάντοτε ἔχει τὸν Θεὸν Πατέρα, τὸ ὕψιστον τοῦτο καὶ θεμελιῶδες καὶ θέμα καὶ ὄνομα. **Ταῦτα.** Ποικίλως οἱ ἐξηγηταὶ ἀναφέρουσιν αὐτὸ εἰς μέρος (εἰς τὰ ἀπὸ τοῦ ΙΕ' κεφ. κ. ἑξῆς), ἢ εἰς τὸ ὅλον τῶν ἐν τῷ ὑπερῴῳ τελευταίων πρὸς τοὺς Ἀποστόλους λόγων τοῦ Ἰησοῦ, παραβολικὸν ἐν πολλοῖς, ὡς γνωστόν, καὶ οὐχ ὅλως σαφῆ φέροντα χαρακτῆρα. Ἐξηγηταί τινες σχετίζουσι τὸ **ταῦτα** μόνον πρὸς τὰ ἀπὸ τοῦ 23 στίχου κ. ἑ. Διὰ τὴν σημασίαν τῆς λέξεως **παροιμία** πρβλ. Ι' 6. **Ἔρχεται ὥρα.** Κατὰ τὴν ἐπικρατεστέραν γνώμην ἡ ἀπὸ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγ. Πνεύματος καὶ ἑξῆς ἀρχομένη χρονικὴ περίοδος. Κατὰ τὸν ἱ. Χρυσ. Θεοφ. καὶ Ζιγ. ἡ κατὰ τὴν διάρκειαν τῶν μετὰ τὴν ἀνάστασιν ἐμφανίσεων τοῦ Ἰησοῦ. «Καὶ γὰρ ἐπὶ τεσσαράκοντα ἡμέρας συνῆν καὶ διελέχθη αὐτοῖς συναλιζόμενος καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ» (Χρυσ.). «Δι' ἡμερῶν 40 ἐλάλει αὐτοῖς τὰ περὶ τοῦ Πατρός, τὰ μυστικώτερα καὶ τὰ ἀκριβέστερα. Πρότερον γὰρ οὕτως ἐνόμιζον Αὐτοῦ πατέρα εἶναι τὸν Θεόν, ὡς καὶ ἡμῶν ἔστι χάριτι». Κατά τινας δὲ τῶν νεωτέρων ἡ τῆς δευτέρας τοῦ Κυρίου παρουσίας.

Στίχ. 26. 27. Πρβλ. στίχ. 23. 24. Ἡ παρουσία καὶ ἐγκατοίκησις ἐν

